Πειθοῖ περίπεμπτα θυοσκινεῖς;
Πάντων δὲ θεῶν τῶν ἀστυνόμων,
Ὑπάτων, χθονίων,
Τῶν τ' οὐρανίων τῶν τ' ἀγοραίων,
Βωμοὶ δώροισι φλέγονται·
Ἄλλη δ' ἄλλοθεν οὐρανομήκης
Λαμπὰς ἀνίσχει,
Φαρμασσομένη χρίσματος ἁγνοῦ
Μαλακαῖς ἀδόλοισι παρηγορίαις
Πελάνῳ μυχόθεν βασιλείῳ.
Τούτων λέξασ' ὅ τι καὶ δυνατὸν
Καὶ θέμις αἰνεῖν,
Παίων τε γενοῦ τῆςδε μερίμνης,
Ἣ νῦν τοτὲ μὲν κακόφρων τελέθει,
Τοτὲ δ' ἐκ θυσιῶν ἀγανὰ φαίνουσ'
Ἐλπὶς ἀμύνει φροντίδ' ἄπληστον,
Τὴν θυμοβόρον φρένα λύπης.

Κύριός εἰμι θροεῖν ὅδιον κράτος αἴσιον ἀνδρῶν στρ. α΄.
Ἐκτελέων· ἔτι γάρ θεόθεν καταπνείει πειθὼ μολπὰν,
ἀλκὰν σύμφυτος αἰὼν·
Ὅπως Ἀχαιῶν δίθρονον κράτος Ἑλλάδος ἥβαν
Ξύμφρονα τὰν γᾶν πέμπει σὺν δορὶ καὶ χερὶ πράκτορι
θούριος ὄρνις, Τευκρίδ' ἐπ' αἶαν
Οἰωνῶν βασιλεῖς βασιλεῦσι νεῶν, ὁ κελαινὸς, ὅ τ'
ἐξόπιν ἀργῆς
Φανέντες ἴκταρ μελάθρων, χερὸς ἐκ δορυπάλτου,
παμπρέπτοις ἐν ἕδραισιν,

---

87. πυθοῖ — θυοσκεῖς (-κοεῖς) — f. περίπεμφθ', ἃ. 91. δώροις 94. χρίματος 95. f. ἀδόλοις τε 97. λέξ' ὅτι — (κ. σοι δ.) 98. εἰπεῖν 100. νῦν ἔσθ' ὅτε — (εὖθ' ὅτε κακ.) 101. φαίνεις (φανεῖσ') — ἄγαν ἀφ. f. ἀγάν' ἀμφαίνουσ' 102. ἄπλειστον 103. MSS. τὴν θυμόφθορον λύπης φρένα = vel τὴν θυμοβόρον λύπης φρένα (— φρένα λύπης = λυποφρένα) 104. (ὅσιον) 105. f. ἐντελέων (f. ἐκ τελ.) — καταπνεύει = ...πνέει — f. μολπᾶν ἀλκᾷ s. ἀλκὰν 106. ἥβας 107. (ταγὰν = ταγᾶν) — v. πέμπῃ ξὺν δ. δίκας πρ. 108. MSS. βασιλεῦς — ἀργίας = ἀργείας 109. (οἱ φαν.) — δοριπ. = (δορυπάλκτου) — MSS. παμπρέποις (...ποισιν = -πεσιν) — (ἕδραις)